*καὶ ἡμῖν ποτε τοῦ ἀδύτου τὸ καταπέτασμα, καὶ οὐδεὶς ὁ κωλύσων εἰς τὰ ἐνδοτέρω χωρῆσαι μυστήρια καὶ κατοπτεῦσαι τὴν τῶν συμβόλων ἀλήθειαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

**190–191** cf. Hld. 10,28,3

**192** *ἐνδοτέρω* a *-ότερα* h *καὶ* om. h **195** *παναγίῳ* a *παγίω* h **196** *καὶ ἀγαθῷ* om. h *σου* om. h

# ORATIO IN SANCTVM SYMEONEM METAPHRASTEM

Symeon et dicendi peritus et praestans virtute (7–15) Constantinopoli natus est, quae illustrem propter hunc illustrior est (15–29). nam adulescens etiamnunc sapiens (31) et sponte naturae suae eloquens philosophiae adeo studuit (43) ut philosophis et oratoribus iucundus (61–74) laudaretur omnibus ex partibus (75–81). genti autem nobili et locuplete, hic vir non luxuriae sed philosophiae indulsit (82–89), effugiens vitia non solum cynicorum et Platonicorum et Aristoteliorum (89–103) sed etiam oratorum (104–109). imperator tamen eum dilexit, quod Symeon consiliarius et omnium consiliorum interpres rem publicam prudenter administravit (117–129) atque valde defendit (133–140). omnino autem Symeon magnificentiam benevolentiam et largitatem ostendit (142–149).

Martyres beati et homines austeri admirabiliter vixerunt sed has vitas inepte scripserunt auctores qui et diligentiae et elegantiae et verborum compositionis eguerunt (167–183). quam ob rem multi vitas sanctorum intolerabiles ad legendum habuerunt et multi risu dignissimas (184–191). Symeon tamen solus has permultas polire ausus (191–200), praestitit multum ceteris hominibus qui Graecam historiam, qui geometrica, qui libros politos de Persicis aut de Babylonicis aut de Alexandro magno scripserunt (207–211). nam Symeon de verborum compositione curans, bonis de viris opera composuit ut homines in eloquentia atque in virtute proficerent non solum scripta sed etiam descriptos imitati (217–219). nam labo-

ravit eo consilio, ut evangelium confirmaret (221). sunt autem eruditi qui opera eius contemnant quod ignoretur aut ars dicendi aut naturae cognitio aut machinalis scientia aut philosophia (230–255). immo vero Symeon his commode utetur. oratio autem caute figuras et semper veritatem ita adhibet (256–260) ut eruditis atque vulgaribus placeat (260–265) quae omnia breviter exprimat (268–279). vitis deinde cum diligentia lectis, Symeon orationem commutavit atque res tenuit, sanctorum et patrias (285–290) et sedes et mores feliciter tractans (313–322). Symeonis autem scripta magis observata et imitata sunt quam mea cum multa et erudita tum a vulgo contemnata (324–329).

Imperatoris dicto parens, ut ita dicunt, Symeon hoc onus magnum suscepit, multis ad opus adiuvandum congregatis (330–334). nam alii vetera scripta perlegerunt et notaverunt loca ubi oporteret orationem poliri, alii haec correxerunt, alii omnia probaverunt (334–339). operis propter magnitudinem ipse tamen omnia etiam atque etiam non potuit revisere (339–341). sanctis tamen evangelistis similior quam doctis profanis (350–360), Symeon laboravit ut homines ad salutem pervenirent (361–365), quam ob rem nunc caelum incolit (367–369). nam arbitri dicunt Symeonem libenter mortem accepisse (372–375) atque – mirabile dictu! – mortuum usque bene olere dum alter idem in sepulcrum sepultus sit (376–383), hoc miraculo beatitatem demonstrante. sancte Symeon, utinam benigne quae scripsi ne irate quae omisi recorderis (387–392).

Occasio orationis huius fortasse fuit dies festus sancti Symeonis Metaphrastis (28 Nov.) in officio quod Psellus composuit (Kurtz Drexl I, 108–119; cf. Louis Petit, Bibliographie des acolouthies grecques. Subsidia Hagiographica 16 [Bruxelles 1926] 271).



## 7. *Ἐγκώμιον*
## *εἰς τὸν Μεταφραστὴν κῦρ Συμεών*

*Τὸν μέγαν ἐν βίῳ καὶ λόγῳ Συμεὼν ἐπαινεῖν προελόμενος, τὸ πάσης λαμπρὸν καὶ περιβόητον οἰκουμένης ὄνομα καὶ εὐτύχημα, οὐκ οἶδα, τίσι ποτὲ λόγοις περὶ αὐτοῦ χρήσομαι ἢ τί τῶν πάντων ἐρῶν ἀρκοῦσαν τὴν εὐφημίαν παρέξομαι. ἀνὴρ γὰρ ἐκεῖνος οὐ λόγῳ μόνον κοσμούμενος καὶ τόν τε νοῦν ἔχων εἰς νοημάτων γονὰς ἑτοιμότατον τήν τε γλῶσσαν οἷον δὴ τὸ Νειλῷον ῥεῦμα οὐκ ἐν περιόδοις οὐδ' ἐκ διαστημάτων μακρῶν, ἀλλ' ὁσημέραι μυρίοις πληθύνουσαν πήχεσι καὶ εὐκαιρότατα πελαγίζουσαν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν ἠθῶν κρᾶσιν καὶ τὸ πάσας συνειληφέναι τὰς ἀρετὰς καὶ τὸ παράδειγμα γενέσθαι τοῖς ζηλοῦν ἐθέλουσι μεγαλοπρεποῦς βίου καὶ σώφρονος σεμνυνόμενος. τοῦτον δὴ τὸν περιώνυμον ἄνδρα καθ' ὥραν ὡς εἰπεῖν ἡ Κωνσταντινόπολις τῷ βίῳ ἐξήνθησεν, ἡ πρώτη*

B 113r–115v; b 200r–202v; O 76r–78r; r 215r–224v Surius (1618) 625–627 – Allatius 221–235; Kurtz et Drexl I 94–107. Cum B et O aut r et Surius concinunt, lectionem B solam aut r solam reportavi; lectionem Allatii reportavi nec B nec r sequentis.

**1–2** *τοῦ σοφωτάτου Ψελλοῦ ἐγκώμιον – Συμεών* B *λόγος ἐγκωμιαστικὸς τοῦ αὐτοῦ Ψελλοῦ* r Pselli oratio encomiastica in sanctum Symeonem Metaphrastem Su. om. b **4–5** *πάσης – ὄνομα* b *πάσης τῆς οἰκ. λαμ. κ. περιβ. καὶ ὄνομα* Br **5–6** *τίσι – αὐτοῦ* B *τίσι λόγοις ποτὲ περὶ αὐτοῦ* b *τίσι ποτὲ περὶ αὐτοῦ λόγοις* r **7** *οὐ λόγῳ μόνον* r *οὐ μόνον λόγῳ* b *οὐ λόγῳ μόνῳ* B **8** *ἔχων – ἑτοιμότατον* b *ἔχων ἑτοιμ. εἰς νοη. γονὰς* Br **10** *οὐδ'* codd. *οὐκ* Al. **12** *τὴν … κρᾶσιν* b *τῇ … κράσει* Br *τὸ* Bb *τῷ* Or **13** *συνειληφέναι τὰς* om. Al. **13** *τὸ* Bb *τῷ* Or **14–15** *σεμνυνόμενος* codd. *σεμνυνομένοις* Al. **16** *Κωνσταντινόπολις* b *Κωνσταντινούπολις* Br *τῷ βίῳ* om. Br

τὸν πρῶτον, ἡ καλλίστη τῶν πόλεων τὸν κάλλιστον φάναι πολιοῦχον· καὶ δοῦσα τούτῳ τὸ ἐξ αὐτῆς γεγεννῆσθαι καὶ τῇ τοιαύτῃ γενέσει τιμήσασα ἀντελάμβανε παρ' αὐτοῦ τὸ τοιοῦτον προενεγκεῖν, οἷος καὶ μόνος ἐξήρκεσεν ἂν τὰ καλλιστεῖα ἐκείνῃ ἀποδοῦναι τῶν πόλεων· καὶ γέγονεν αὐτῇ ἡ παρ' ἐκείνου τιμὴ τῆς πρότερον μεγαλοπρεπεστάτη καὶ μείζων, ὅσῳ τότε μὲν κάλλει καὶ μεγέθει τῶν ἄλλων ἐκράτει πόλεων ὥσπερ τις παραδείσου χῶρος τῇ περιβολῇ καὶ τῷ κύκλῳ, ὕστερον δὲ δι' ἐκεῖνον καὶ τοῖς ἄνθεσιν τῶν ἀρτιγενῶν ἀρετῶν τὰς ἄλλας ὑπερηκόντισεν, ὥστε εἰ καὶ μὴ οὕτως ἐξ ἀρχῆς κόσμου τετύχηκε μηδὲ οἰκιστὴν τοιοῦτον εὐτύχηκεν, ἀπέχρησεν ἂν αὐτῇ τὸ θαυμαστὸν δὴ τοῦτο γέννημα πρὸς τὴν τῶν κρειττόνων ἀντίθεσιν.

Καὶ τὸ κατὰ πάντων ἀσύγκριτον κάλλος καὶ ἀπαράμιλλον· ἦν μὲν οὖν εἰπεῖν καὶ ἐκ πρώτης εὐθὺς γενέσεως καὶ ἐξανθησάσης ἤδη τριχός, ὥσπερ οἱ τῶν λεόντων σκύμνοι εὐθὺς τὴν ὀφρὺν παραδεικνύοντες καὶ τῶν ἐπαυχε-

**30–31** cf. Psell. orat. 30,85 Littlewood **32** cf. Arist. hist. anim. 728 b 27

**17–18** φάναι πολιοῦχον Br πολιοῦχον φάναι b **18** γεγεννῆσθαι r γεγενῆσθαι Bb **19** τῇ om. r τιμήσασα br τιμήσασθαι B τετιμῆσθαι Kz. ἀντελάμβανε b ἀντέλαβε Br **20** προενεγκεῖν codd. περιενεγκεῖν Al. **20–21** τὰ καλλιστεῖα brB man.[2] mg. τῶν καλλιστείων B **22** ἐκείνου Br ἐκεῖνον b **22** πρότερον Bb προτέρας r μεγαλοπρεπεστάτη b μεγαλοπρεπεστέρα Br **23** ὅσῳ codd. ὅσον Al. κάλλει καὶ Br κάλλει μάλλον(?) καὶ b **26** ἀρτιγενῶν b αὐθιγενῶν Br **26** ὑπερηκόντισεν Br ὑπερεκόντισεν b **27–28** μηδὲ – εὐτύχηκεν man.[2] mg. r εὐτύχηκεν codd. ηὐτύχηκεν Al. **28** δὴ om. br **30** κάλλος b κράτος Br **31** μὲν οὖν εἰπεῖν b μὲν εὐθὺς Br καὶ br τὸ Br man.[2] mg. αὐτῷ Kz. πρωτῆς εὐθὺς b πρωτῆς ὡς εἰπεῖν Br **32** ἐξανθησάσης b ἐξ ἀνθούσης Br



νίων τριχῶν τὸ λάσιον. ὑπήνθει γὰρ αὐτῷ τὰ τῆς συνέσεως ἄνθη καὶ τὸ φρόνημα ῥίζαν τινὰ εἶχε βαθεῖαν καὶ ὁ νοῦς ἐξήστραπτέ τι θαυμάσιον· ταῦτα δὲ τοῖς μὲν ἄλλοις ἀρκοῦντα ἐτύγχανεν εἰς τελείωσιν, ἐκείνῳ δὲ προχαράγματα τῆς τελείας ἐγνωρίζετο φύσεως. ὥσπερ οὖν τῶν δένδρων ὁπόσα παρὰ τὴν φύσιν ἀναβλαστάνει τῆς ἐπιμελομένης χειρὸς βραχύ τι ἐπιδεόμενα, εἰ καὶ ἀρδείαν τινὰ παραδέξεται, ἔτι μᾶλλον πρὸς κάλλος καὶ μέγεθος ἐπιδίδωσιν, οὕτω δὴ κἀκείνῳ ἦν μὲν ἡ φύσις εὔδρομόν τι χρῆμα καὶ εὐθὺς προϊὸν κατ' εὐθύ· ὅθεν αὐτοφυῶς μὲν ἐρρητόρευε, πρὸς δὲ φιλοσοφίαν ὁ βαθὺς τῆς ψυχῆς κόλπος ἄφθονα ἐδίδου νοήματα. ἐπεὶ δὲ καὶ πρὸς τὰς διατριβὰς τῶν φιλοσοφούντων ἀπέβλεπε καί τινας ἐκεῖθεν ἀρχὰς ἐκομίσατο πρὸς τὴν τῶν ζητουμένων εὕρεσιν ἀφορμάς, ἀνέκυψέ τε ἀθρόον καὶ ἤρθη μετέωρος καὶ ἀπὸ τῶν ἀκτίνων εὗρε τὸν ἥλιον ἢ οὕτως εἰπεῖν ἀπὸ τοῦ ἡλίου πρὸς τὰς ἀκτῖνας διέβλεψε, τὸ μὲν ἐκ τῶν ὑστέρων τὰ πρῶτα συλλογιζόμενος, τὸ δὲ ἐκ τῶν προτέρων τὰ δεύτερα τῇ φύσει συμπεραινόμενος.

Εἰδὼς δέ, ὡς δυσὶ τούτοις ἡ τελεία καθ' ἡμᾶς φύσις κεκόσμηται, νοῦ γεννήμασι καὶ γλώττης ῥεύμασι, καὶ ὡς τῶν προλαβόντων ἐκείνων σοφῶν οἱ μὲν διὰ φιλοσοφίας τὸν νοῦν ἐτελείωσαν, οἱ δὲ διὰ ῥητορικῆς τὴν γλῶσσαν ἐκάθηραν καὶ πλήν γε ἑνὸς ἢ δυοῖν οἱ λοιποὶ πρὸς θάτερον ἀπένευσαν τῶν μερῶν καὶ τοῖς μὲν ἡ γλῶττα ποταμηδὸν ἔρρευσεν ἐξ ἐπιχειρημάτων πυκνῶν, τοὺς δὲ ἐκή-

**34** ὑπήνθει Bbr ὑπήνθη O **36** ταῦτα – ἀρκοῦντα B om. δὲ r ταῦτα μὲν τοῖς ἀλλοῖς οἶμαι ἀρκοῦντα b **39** ἀναβλαστάνει Br ἀναβλαστάνουσι b **45** καὶ om. O **47** ἀνέκυψε Bb ἐνήκυψε r **49** πρὸς om. b **53** γεννήμασι Bb γενήμασι r ῥεύμασι br ῥήμασι B **55** γλῶσσαν b γλῶτταν Br **56** δυοῖν br δυεῖν B **57** ἀπένευσαν codd. ἐπένευσαν Al. ποταμηδὸν br ποταμὸν B **58** πυκνῶν Br τινῶν b

ρυξε τῶν νοημάτων τὰ ὑψηλότερα, ὡς εἶναι τούτους μὲν μικροῦ δεῖν ἀγλώττους, ἐκείνους δὲ ἐρήμους τῆς τελειοτέρας νοήσεως, ἐκεῖνος μέσον ἀμφοῖν γεγονὼς σύνδεσμος οἷον τῶν τέως διεστηκότων ἐγένετο. καὶ τήν τε γλῶτταν ἐξάψας τοῦ νοῦ οἷον πείσματος τόν τε νοῦν ἐπιστήσας τοῖς λόγοις καὶ ῥητορικῇ μὲν τὴν φιλοσοφίαν προσεμβιβάσας εἰς πρακτικωτέραν καὶ ἐμφανεστέραν ἐνέργειαν, τῇ δέ γε φιλοσοφίᾳ τὴν τέχνην ὑψώσας καὶ κεράσας ἄμφω πρὸς ἄλληλα τοῖς παρ' ἑαυτοῦ κάλλεσιν, ἔμφωνον, ἵν' οὕτως εἴπω, τὸν νοῦν καὶ ἔννουν τὴν γλῶτταν εἰργάσατο. ἐφιλοσόφει γοῦν μετὰ τῆς ἠθικῆς πιθανότητος καὶ ἐρρητόρευε μετὰ τῆς φιλοσόφου βαθύτητος· καὶ ἦν ἀμφοῖν τοῖν γενοῖν ὁμοίως εὐάρμοστος καὶ οὔθ' ὁ φιλόσοφος τὴν πολιτικὴν ἐμίσει ὑπόθεσιν ὁρῶν χρωννυμένην ταῖς ἀπὸ τῆς φιλοσοφίας βαφαῖς οὔθ' ὁ ῥήτωρ πρὸς τὴν ἐπιστήμην ἀπήχθετο ταῖς τεχνικαῖς μεθόδοις ἐναμβρυνόμενος.

Ἐντεῦθεν ὥσπερ τις λαμπτὰς ἀπὸ τῆς Βυζαντίδος ἀφθεῖσά τε καὶ ἐξαρθεῖσα οἱονεί τις πυρσὸς διαέριος ταῖς ἁπάσαις ἔδοξε πόλεσι. καὶ ἦν ὡς ἀληθῶς ὁ χῶρος οἷόν τις κόσμος οὐράνιος, πᾶσι λόγων καταστραπτόμενος γένεσι καὶ δι' ἑνὸς δᾳδούχου τὰ μὲν τὴν σύμπασαν οἰκουμένην καταπυρσεύσας, τὰ δὲ πρὸς τῷ οἰκείῳ φωτὶ καὶ ταῖς ἀλλο-

60 τῆς τελειοτέρας om. Al. 61 μέσον B μέσος br σύνδεσμος Br συνδέσμοις b 62 τε om. b 63 οἷον πείσματος om. Br 64 ῥητορικῇ br ῥητορικῆς B 64 προσεμβιβάσας Br προβιβάσας bAl. 65 γε om. b 67 ἑαυτοῦ r ἑαυτῶν ObAl. lac. B 69 γοῦν Br γὰρ b 71 οὔθ' codd. οὔδ' Al. πολιτικὴν codd. πολιτικὸν Al. 74 ἐναμβρυνόμενος br ἐναβρυνόμενος B ἐμβραδυνόμενος Or man.[2] mg. 76 ἐξαρθεῖσα Or ἐξαφθεῖσα b lac. B ἀρθεῖσα Al. πυρσὸς br πυρὸς O lac. B 77 ὁ χῶρος codd. τὸ βυζάντιον add. s.l. b 78 λόγων Or λόγῳ b lac. B



τρίαις ἀπαστράπτων μαρμαρυγαῖς. καὶ τό γε θαυμασιώτερον καὶ δι' ὃ μᾶλλον ἄν τις ἐκεῖνον θαυμάσειεν, ὅτι καὶ γένους εὖ ἔχων καὶ τὰ τῆς εὐκλείας οἴκοθεν κεκτημένος βαθεῖ τε πλούτῳ κομῶν καὶ οἵοις ἄν τις πρὸς παίδευσιν ἀποκνήσειεν (οἱ γὰρ πλεῖστοι ἀφορμὴν τοῦ πλουτεῖν ὥσπερ τὸν λόγον τιθέασιν, οὐχ ἵν' ἐπήβολοι τῶν κρειττόνων γένοιντ', ἀλλ' ὅπως ἂν τοῖς ματαίοις ἐπεντρυφήσωσιν περὶ ταῦτα σπουδάζοντες), παρασκευαῖς ἐκεῖνος ταῖς παρὰ τῆς ἔξωθεν τύχης πρὸς φιλοσοφίαν ἐκέχρητο. ἐντεῦθεν οὔτε τοὺς ἀργοτέρους τῶν φιλοσοφησάντων οὔτε τοὺς περιττοτέρους τῶν ῥητόρων ζηλοῖ. οἱ μὲν γὰρ ὥσπερ ἀπλέτῳ φωτὶ ταῖς ἀπὸ τῆς φιλοσοφίας καταστραφθέντες ἀκτῖσιν αὐτίκα ἐπέμυσαν καὶ οὐ προεβίβασαν εἰς πρᾶξιν τὴν ἀρετὴν οὐδ' ἐχρήσαντο τοῖς δόγμασι μεγαλοπρεπῶς οὐδὲ ἡγεμόνες γεγόνασι πόλεων οὐδὲ φέροντες ἃ μεμαθήκασιν εἰς μέσον τοῖς πολλοῖς προτεθείκασιν, ἀλλὰ μακροὺς μὲν ἐξέθρεψαν πώγωνας ὥσπερ ἄκαρπα θέρη καὶ σκυθρωποὶ τοῖς προσώποις γεγόνασιν· εἶτα δὴ οἱ μὲν οὐδὲν δέον διὰ τῆς ἀγορᾶς θέοντες ἀκράτῳ τῇ παρρησίᾳ ἐχρήσαντο, οἱ δὲ πιθάκνας τινὰς κατῳκήκασι περιγράψαντες ἑαυτούς, οἱ δὲ

**99–100** cf. CPG I 87,14

81 ἀπαστράπτων b καταστράπτων Br 82 ὃ Br οὗ b ἐκεῖνον Or ἐκεῖνα b lac. B 84 οἵοις Kz. οἷον OAl. οἵῳ b οἷς rB man.[2] mg. lac. B 85 τοῦ Br τῷ b 86–87 γένοιντ'–ἂν b γένοιντ' ἄν, ἀλλ' ὅπως Br 87 τοῖς Obr lac. B ταῖς Kz. 88 ταῦτα b τοῦτον Br ταῖς Bb τοῖς r παρὰ Br περὶ b τῆς Bbr τοῖς O 91 ζῆλοι Bbr δῆλοι O 93 ἐπέμυσαν Br ἐπέμυσο O ἀπέμυσαν b 95–96 μέσον τοῖς πολλοῖς b μέσους τοὺς πόλλους Br 98 οἱ μὲν s.l. οἱ κυνικοὶ b 99 δὲ Bbr μὲν O πιθάκνας Fr. πιθάκνους b πίθους Br (cf. Psell. or. 25,50 Littlewood) 100 κατῳκήκασι codd. κατῴκησαν Kz. Dxl. οἱ δὲ s.l. ὁ πλάτων b

περὶ διαλεκτικὰς ἐρωτήσεις τὸν ἑαυτῶν βίον κατατετρίφασιν, ἄλλοι δὲ περὶ φυσικῶν ἐζήτησαν ὑποθέσεων ἀνωφελεῖς τινας ἀντιλογίας καὶ ἔριδας τῷ βίῳ κατακομίσαντες. καὶ τῶν ῥητόρων δὲ οἱ πλείους ταὐτὸ τοῦτο πεπόνθασι τὴν ἔμφρονα τέχνην ἀφροσύνης ἀφορμὴν ποιησάμενοι καὶ δέον τὰ λυσιτελοῦντα ταῖς πόλεσι προαιρεῖσθαι καὶ μελετᾶν, οἱ δὲ τὰ μὲν αὐτοὶ πλάττοντες, τὰ δὲ οἷον ἀποκειμένοις χρησάμενοι πλάσμασι καινήν τινα σκηνὴν τῷ βίῳ ἐπετραγῴδησαν.

Ἀλλ' ἐκεῖνος οὐχ οὕτως, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ μήτε τὴν ἐσθῆτα μεταλλάξας μήτε τι τοῦ μεγαλοπρεποῦς καθυφεὶς μήτε τὸ γένος ἀτιμάσας ταῖς τοιαύταις καινοτομίαις μήτε πλάσας ἢ μεταπλάσας ὑποθέσεις πολιτικὰς μήτε τηνάλλως σοφιστευσάμενος, τῇ μὲν ἀπὸ τοῦ γένους φιλοτιμίᾳ ὕλῃ πρὸς τὸ εὖ δρᾶν πολυαρκεστάτῃ ἐχρήσατο, τὴν δὲ ἀπὸ τῶν μαθημάτων ἀρετὴν ἀφορμὴν εὐθὺς ἔσχε μεγαλοπρεπείας τε καὶ λαμπρότητος· βασιλεῦσι γὰρ ἐπέραστος γεγονὼς τὰ τιμιώτατα τῶν ὅλων πιστεύεται, τὸ μὲν ἐγγὺς ἑστάναι τοῦ βήματος διὰ τὴν σύνεσιν, τὴν δὲ τῆς πολιτείας διοίκησιν διά τε τὴν τῆς φύσεως ἐπιτηδειότητα καὶ τὴν τῶν πραγμάτων προσλαβὼν ἐπιμέλειαν. καὶ πρῶτα μὲν

**107–109** cf. Heliod. Aeth. 7,6,4

**101** *κατατετρίφασιν* Br *κατετρύφησαν* b **102** *ἀλλοὶ δὲ* s.l. *ὁ Ἀριστοτέλης* b **104** *δὲ* om. Or man.[1] **106** *ταῖς* Bbr *τοῖς* O **108** *πλάσμασι* b *πράγμασι* Br *καινήν* Bbr *καὶ νῦν* O **111** *τι* om. br man.[1] **112** *τοιαύταις* om. Al. **113–114** *τηνάλλως* Al. *τηνάλως* codd. *σοφιστευσάμενος* Br *σοφιστισάμενος* b *τοῦ* codd. *τούτων* Al. **115** *ὕλῃ* Obr man.[2] mg. *ὅλῃ* rB man.[2] mg., B man.[1] lac. *δρᾶν* b *ποιεῖν* Br **120** *τε* om. b **121** *πραγμάτων* rB man.[2] mg., B man.[1] lac. *λόγων* b om. O *προσλαβὼν* Or *προλαβὼν* b lac. B *πρῶτα* Br *πρῶτον* b



ἐπὶ ταῖς μυστικωτέραις ἐφειστήκει τῶν πράξεων καὶ τοῖς ἀπορρήτοις βουλεύμασι κοινωνὸς παρειστήκει τοῖς συμβουλεύουσιν. ἐπεὶ δὲ ἡ τοῦ τρόπου πίστις ἐν τούτοις τοῦτον ἐκήρυξε, μετὰ τῶν ἀδύτων καὶ τὰς κοσμικωτέρας φροντίδας συνείληφεν, ὡς τὸν αὐτὸν γεγενῆσθαι εἰσαγγελέα τε τῷ κρατοῦντι τῶν ἔξωθεν καὶ ἐξαγγελέα τῶν τοῦ κρατοῦντος τοῖς ἔξωθεν. καὶ ἦν ὡσανεὶ δεσμὸς τῆς διοικήσεως ἀκριβής.

Τοῦ μὲν οὖν ἡλιακοῦ κύκλου τὸ μέν ἐστιν ἑτέρωθι, τὸ δὲ πρὸς ἡμᾶς· ἐκεῖνος δὲ ὁ αὐτὸς ὅλος ἦν καὶ τῷ βασιλεῖ καὶ τοῖς πράγμασιν. ὥσπερ γὰρ καὶ ἄνωθεν τοῦτον ὁ λόγος ἐγνώρισε, παντοδαπῶς εἶχε τῆς φύσεως τὰ μὲν προβουλεύσασθαι, τὰ δὲ τῶν βουλευμάτων καὶ κατεργάσασθαι βαρβάρους τε πορρωτέρω τῆς Ῥωμαίων ἀπώσασθαι γῆς, τοὺς δὲ καὶ καταγωνίσασθαι ἢ στρατεύμασιν ἢ τεχνάσμασιν ἔθνη τε ὑποποιῆσαι καὶ στῆναι δεξιῶς πρὸς τοὺς καιροὺς πρὸς τὰ πράγματα, τὸ μεταβεβλῆσθαι, ὅτε δέον, τὸ καινοτομῆσαι, ὅτε συμφέρον, τὸ τὴν αὐτὴν τηρῆσαι ἰδέαν, ὅτε τοῦτο καλὸν δόξειε. καὶ ἐπὶ τούτοις οὐδὲ χαρίτων ἄμ-

**126–128** cf. Psell. theolog. I opusc. 76,56 Gautier/Westerink

**122** *ἐπὶ* om. Br *ἐφειστήκει* Br *ἐφεστήκει* b Al. **123** *παρειστήκει* Br *καθειστήκη* b **123–124** *συμβουλεύουσιν ἐπεὶ* p.c. B *συμβουλεύουσιν· οἶμαι τοῖς βασιλευουσιν· ἐπεὶ* O a.c. B *βασιλεύουσιν· ἐπεὶ* br **125** *κοσμικωτέρας* b *κοσμικὰς* Br **126** *τὸν* om. Br **127** *τῶν*[1] om. Al. **130** *οὖν* Or *γὰρ* b lac. B *ἐστιν* Br *ἐπεὶ* b **132** *γὰρ* om. Al. **132–133** *τοῦτον ὁ λόγος* r *τοῦτο ὁ λόγος* b *ὁ λόγος τοῦτον* B **135** *πορρωτέρω* b *πόρρω* Br **137** *δεξιῶς* b *δεξιὸς* Br **138** *πρὸς* codd. *καὶ* Al. **138–139** quod ... quod ... quod = *τῷ ... τῷ ...τῷ* Su. **138** *τὸ*[1] O p.c. b *τῷ* Br a.c. b *τὸ*[2] a.c. O p.c. b *τῷ* Br a.c. b p.c. O **139** *τὸ* b a.c. O *τῷ* Br p.c. O **140** *χαρίτων* codd. *χάριτος* Al.

*οιρος ὁ ἀνήρ, ἀλλὰ κατήρτυτο αὐτῷ πρὸς πᾶσαν σπουδὴν μετ' ἐμμελοῦς παιδιᾶς καὶ ἡ γλῶττα καὶ ἡ διάνοια. μεγαλοπρεπῶς δὲ ἔχων καὶ τῆς στολῆς καὶ τοῦ σχήματος ἅμα δὲ καὶ τοῦ βαδίσματος ἀντήλλαττε τὸ ἦθος πρὸς τὸ φαινόμενον, ἐπίχαρίς τε ὢν καὶ εὐπρόσιτος καὶ αὐτόθεν ἕλκων πάντας τῷ μειδιάματι. εἶχε δὲ καὶ τῆς χειρὸς ἀφειδῶς, δύο ταύτην ἐπεκτεινόντων, πλούτου τε καὶ προαιρέσεως· καὶ προέκειτό γε αὐτῷ ὑπτιάζουσα καὶ ἐξήντλει ταύτης ὥσπερ ἐκ ποταμοῦ δαψιλῶς ὁ βουλόμενος. εἶχε μὲν οὖν οὕτω ταῦτα τῷ μεγάλῳ τούτῳ ἀνδρί· εἶχε δὲ καί, ὡς οὐκ ἐχρῆν ἄλλως, μέρη τινὰ τῶν τὴν ἡμετέραν πίστιν συγκροτεῖν εἰωθότων· τὰ δὲ ἦν – ἀλλὰ τί μὴ τελεώτερον χρῶμαι τῷ λόγῳ μηδὲ εἰς κορυφαίαν ἀρχὴν ἀνάγω τὸ μέγιστον τῶν ἐκείνου κεφάλαιον; εἶμι γοῦν πρὸς τὴν πρώτην ὑπόθεσιν, βραχύ τι τὸν λόγον προκαταστήσας.*

*Φιλότιμα μὲν τὰ παρὰ τῶν μαρτύρων κατ' ἐχθρῶν ἀγωνίσματα, πρὸς οὕς τε ἐμφανῶς καὶ πρὸς οὓς ἀφανῶς ἠγωνίσαντο. καὶ πῶς γὰρ οὔ; παρρησίαι λαμπραὶ καὶ γνῶμαι ἀήττητοι τό τε ἐκκεκόφθαι τῶν σχέσεων καὶ τὸ καταμελῆσαι τῆς φύσεως τομαί τε τῶν μελῶν καὶ ἀποβολαὶ καὶ τὸ*

**141–142** cf. Xen. symp. 1,1 et Psell. orat. 25,20 Littlewood

**141** *κατήρτυτο* Br *κατήρτητο* b *σπουδὴν* om. r add. man.[2] mg. **142** *παιδιᾶς* Br *παιδείας* b = doctrina Su. **143** *στολῆς* Br *χολῆς* b **144** *δὲ* om. Br **145** *τε* Br *τὶς* b **147** *τε* om. Br **148** *αὐτῷ* Br *αὐτὴ* b **149** *ταύτης* codd. *ταύτῃ* Al. **150** *τούτῳ* om. b **150–151** *ὡς – ἄλλως* r *ἄλλως* om. Bb *οὐκ* … *ἄλλως* om. O *ὥσπερ ἐχρῆν* Al. **152** *ἀλλὰ* codd. *ἄλλως* Al. **154** *πρώτην* om. b **156** *παρὰ* Bbr *περὶ* O *κατ' ἐχθρῶν* Br *καὶ τῶν ἐχθρῶν* b **157** *οὓς* codd. *τοὺς* Al. **160** *τε τῶν μελῶν* b *τε μέλων* Br man.[2] mg. *τε βελῶν* rB man.[2] mg.



*τελευταῖον ζωῆς περιφρόνησις. οὐδὲν δὲ ἧττον τούτων καὶ ὁ ἀσκητικὸς βίος κατέλαμπε· δαπάνη γὰρ κἀνταῦθα σαρκῶν καὶ τρυφὴ τὸ μὴ τρυφᾶν, ἐν οἷς οὐ δέον τρυφᾶν, καὶ τὸ ἀπερρῆχθαι κόσμου καὶ πρὸς θεὸν μετὰ τῶν σωμάτων αὐτῶν ἀναπτῆναι καὶ στῆναι πρός τε τὰ ἔμφυτα πάθη καὶ πρὸς τὰ ἐπιρρέοντα παρὰ τῶν πονηρῶν πνευμάτων ἔξωθεν. λαμπροὶ τοιγαροῦν ἄμφω οἱ βίοι καὶ πάλαι μὲν ἤστην, ἐστὸν δὲ καὶ αὖθις· ἀλλ' οὐ λαμπρὰ τέως ἐγνώριστο ἡ τούτων ἐνταῦθα διαγωγή, μᾶλλον δὲ ἡ τούτων ἀντίδοσις, ἀλλ' αἱ μὲν ἀπόρρητοι βίβλοι, ἃς δὴ τοῖς πολλοῖς ἐν τῇ ἀποκαταστάσει οἱ ἄγγελοι ἀναγνώσονται, ἀκριβῆ τὰ τῆς μαρτυρίας αὐτῶν καὶ ἀσκήσεως ἔχουσιν ὑπομνήματα. οἱ δὲ πρὸ τοῦ θαυμασίου τοῦδε ἀνδρὸς ἐνταῦθα τὰς ἐκείνων πράξεις ἀναγραψάμενοι οὐμενοῦν τῆς μεγαλοπρεπείας ἐκείνων ἐφίκοντο, ἀλλὰ τὰ μὲν αὐτῶν κατεψεύσαντο, τὰ δὲ μὴ δυνηθέντες κατάλληλα θεῖναι ἄκομψον ἐκείνοις τὸ ἀγαθὸν καὶ ἀφιλότιμον συγγεγράφασιν, οὔτε καλὴν ὑποθέμενοι ἔννοιαν οὔτε μὴν εὐπρεπέσι κατακοσμήσαντες λέξεσιν οὐδ' ἀκριβῶς ὑπογράψαντες οὔτε τὴν τῶν κολασάντων βαρύτητα οὔτε τὴν τῶν μαρτυρησάντων πρὸς τὰς ἀποκρίσεις πυκνότητα· ἀλλὰ καὶ τοῖς ἀσκηταῖς τὴν ἄσκησιν ἐκιβδήλευσαν, ἀφελῶς αὐτοῖς καὶ ὥσπερ ἐκ τοῦ παρατυχόντος τὰ ἐσπουδασμένα διεξιόντες.*

**170–172** cf. Apoc. 21,6

**161** *τούτων* rB man.[2] mg. *τοῦτον* b lac. B om. OAl. **162** *ὁ* om. r **166** *παρὰ* Br *περὶ* b **168** *ἐστὸν* Br *νῦν* b **169** *διαγωγή – τούτων* om. Br **171** *ἀκριβῆ* Bbr man.[2] mg. *ἀκριβῶς* rB man.[2] mg. **177** *ἀγαθὸν* br *καλὸν* B *καὶ ἀφιλότιμον* om. b **178** *μὴν* brB man.[2] s.l. om. B **180** *μαρτυρησάντων* b *μαρτύρων* Br **181–182** *ἐκιβδήλευσαν* b *ἐκιβδήλωσαν* Br

Ἔνθεν τοι οἱ μὲν οὐδὲ ψιλὴν ἐκαρτέρουν τὴν τῶν ὑπομνηματισθέντων ἀνάγνωσιν, τοῖς δὲ καὶ γέλωτος ἀφορμὴ τὰ λεγόμενα ἐλογίζετο. καὶ τὸ τῆς συνθήκης δὲ ἀκαλλὲς καὶ τὸ ἀνακόλουθον τῆς ἐννοίας καὶ τὸ τῆς λέξεως εὐτελὲς ἀγλευκῆ τοῖς ἀκούουσιν ἦν καὶ ἀπηχθάνοντο μᾶλλον ἢ προσίεντο· καὶ τὸ ἐπὶ τοῖς ἀναγραψαμένοις διεκωμῳδεῖτο ἡμῖν τὰ θαυμάσια τῶν τοῦ Χριστοῦ θεραπόντων ἀγωνίσματά τε καὶ τρόπαια. καὶ ξύμπαντες μὲν διελοιδοροῦντο σαφῶς τοῖς πράγμασιν, ἀντεισενεγκεῖν δὲ τούτοις τὰ κρείττονα (οἱ μὲν δι' ὄκνον ψυχῆς, οἱ δὲ ὡς τελεώτατον σπούδασμα καὶ ᾧ μηδὲ βίος ἂν ὅλως ἀνδρὸς ἐξαρκέσειεν) οὔτε βουλομένοις δύναμίς τις προσῆν οὔτε δυναμένοις βούλησις. ἀλλ' οὐχὶ καὶ ὁ θαυμάσιος Συμεὼν ταὐτὸν ἐπεπόνθει τοῖς βεβλημένοις, ἀλλὰ μέχρι τοῦ μέμψασθαι τοῖς γεγραμμένοις συμπροϊὼν αὐτοῖς ἔπειτα περαιτέρω προβέβηκε. καὶ θαρρεῖ τι πρᾶγμα νεανικόν, μᾶλλον δὲ εὐτυχεῖ πρᾶξιν, ἣν οὐδεὶς τῶν πάντων εὐτύχηκε· δι' ἧς ἐκεῖνός τε περιφανέστερος τῶν ἁπανταχῇ ἐλλογίμων ἔδοξε καὶ τῷ τε θεῷ τὰ κάλλιστα τῶν ὄντων ἀφωσιώσατο καὶ τοὺς τῶν μαρτύρων ἀγῶνας καὶ δρόμους τάς τε τῶν ἀσκητῶν ἐγκρατείας καὶ καρτερίας ἐκάλλυνέ τε καὶ κατεκόσμησε· καὶ

194 cf. Plat. Phd. 108 d

**186** *ἐλογίζετο* b *ἐγνωρίζετο* Br **187** *ἀνακόλουθον* Bbr *ἀκόλουθον* O **189** *τὸ* codd. *τῷ* Dxl. *ἐπὶ* om. b **191** *διελοιδοροῦντο* Bbr man.² mg. *ἐλοιδοροῦντο* rB man.² mg. **192** *πράγμασιν* b *συγγράμμασιν* Br *τούτοις* b *τούτων* Br **193–194** *τελεώτατον σπούδασμα* Br *τελεώτατα σπουδάσματα* b **194** *ὅλως* b *ὅλος* Br **195** *τις* Br *τε* b **197** *τοῖς βεβλημένοις* bmg. *τούτοις* Br **198** *περαιτέρω* Br *περετέρω* b **199** *εὐτυχεῖ* Ob *εὐτυχῇ* Br **200** *εὐτύχηκε* codd. *εὐτετύχηκε* Al. **201** *ἔδοξε* b *ἐγένετο* Br **201** *τε* om. b



τὴν αὐτὴν ἐκείνοις προεισενεγκὼν εὔνοιαν, τὰς παρὰ πάντων ἀντείληφε χάριτας.

Καὶ τί γὰρ ἄν τις τῷ τοιούτῳ παραβάλλοι σπουδάσματι; ποίαν ἀρχαιολογίαν Ἑλληνικὴν ἢ καταμέτρησιν τῆς συμπάσης γῆς; ἢ ὁπόσα Πέρσαις καὶ πρὸ ἐκείνων Βαβυλωνίοις κατώρθωται ὅσα τε μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι ἀνδρικώτερον διηγώνισται; ἔχει μὲν γὰρ καὶ ταῦτα φιλοτίμως καὶ μάλιστα τοῖς μετὰ καλλιλογίας ἐκτεθεικόσι τὰς συγγραφάς· ἀλλὰ τούτων μὲν διὰ τὴν τῶν ἀναγραψαμένων συνθήκην διεσπούδασται τοῖς πολλοῖς ἡ ἀνάγνωσις· ὁπόσα δὲ ὁ γενναῖος οὗτος ἀνὴρ μετὰ τῆς πρεπούσης τοῦ λόγου περιβολῆς ἐπὶ τοῖς μαρτυρήσασι καὶ ἀσκήσασι τῶν συγγραμμάτων ἐξύφανε, διττὸν ἔχει τὸν ζῆλον, τῆς τε πρὸς τὴν συνθήκην μιμήσεως καὶ τῆς πρὸς τὰ κάλλιστα τοῦ ἤθους τυπώσεως. εἴποιμι δὲ καὶ τρίτον ἄλλο οὐκ ἔλαττον τούτων, ἀλλ' ἀκριβέστερόν τε καὶ ὑψηλότερον, ὅτιπερ τῶν συγκροτούντων τὸ εὐαγγέλιον ἢ τῶν ἁγίων ἀνάγραπτος μνήμη κεφάλαιον τῶν ἄλλων καθέστηκε. τὸ μὲν οὖν ἐκλέ-

**208** Cleanthes Assius Archaeologiam scripsit (cf. Diog. Laer. 7,174), Eratosthenes Cyrenensis libros dimensionum (cf. Macrob. comm. 1,20,9)

**205** *προεισενεγκὼν* b *προσενεγκὼν* Br *παρὰ* Br *περὶ* b **206** *ἀντείληφε* Ob *ἀντήλειφε* r lac. B **207** *παραβάλλοι* br *παραβάλ..* B = contulerit Su. **209** *ἢ* codd. *καὶ* Kz. Dxl. **210** *Μακεδόνι* br *Μακεδόνων* B = Macedonum Su. **211** *γὰρ* om. Al. *καὶ* om. b **212** *φιλοτίμως καὶ μάλιστα* codd. *φιλότιμα καὶ κάλλιστα* Al. *καλλιλογίας* Or *καλλιγορίας* b lac. B *ἐκτεθεικόσι* Br *εἰστεθηκόσι* b **213** *συμφορὰς* corr. s. l. *συγγραφὰς* b **215** *οὗτος* om. OB man.¹ add. B man.² mg. *τῆς* om. b **218** *συνθήκην* Or *προσθήκην* b lac. B **219** *τρίτον ἄλλο* Fr. *τρίτον* Br *ἄλλο* b **220** *ὅτιπερ* codd. *ὅτι περὶ* Al.

ξασθαι τοῦτον τοιαύτην ἑαυτῷ τοῦ γράφειν ὑπόθεσιν μαρτύριόν ἐστιν ἀκριβέστατον τῆς ἐκείνου συνέσεως· τὸ δὲ τοιαύταις ἐννοίαις χρήσασθαι καὶ λέξει μετὰ τοῦ σαφοῦς διῃρμένῃ τό τε πιθανὸν ἐχούσῃ καὶ ἀληθινόν τε καὶ ἔμφυτον ἔστι μὲν καὶ τῆς ἐκείνου σοφίας τεκμήριον, μάλιστα δὲ σημεῖον, ἄν τις θεῖτο, τῆς εὐαρμόστου πρὸς τοὺς καιροὺς καὶ τοὺς ἀκούοντας χρήσεως.

Καὶ ἵνα τι περὶ τούτου τοῦ μέρους ἐρῶ καὶ παρεκβατικώτερον τῷ λόγῳ χρήσωμαι, οὐκ ἀγνοῶ, ὅτι τοῖς πολλοῖς τῶν τε σοφιστικώτερον τῇ περιβολῇ τῆς γλώττης κεχρημένων, οὐδὲν δὲ ἧττον καὶ τοῖς περὶ τὰ μαθήματα ἐσπουδακόσιν, ἀλλὰ καὶ οἷς τὰ φυσικὰ ζητήματα περισπούδαστα, οὐ πάνυ τι σπουδάζεται τοῦ ἀνδρὸς τὰ σπουδάσματα, ὅτι μήτε τὰ τῆς μίξεως τῶν ἰδεῶν ἐκπρεπῆ παρ' αὐτοῖς μήτε οἱ σχηματισμοὶ τῶν λόγων καταφανεῖς μήτε τις ἀπορία φύσεως καὶ ἐπίλυσις μήτε γραμμικαὶ ἀποδείξεις μετὰ τῶν φορτικῶν ὀνομάτων μήτε φιλόσοφοι ἔννοιαι ὑψηλολογοῦσαι τὸ ὑποκείμενον. βούλονται γὰρ οἱ περιττοὶ τὴν σοφίαν πρὸς ἐπίδειξιν πάντα γεγράφθαι, οὐ πρὸς ὠφέλειαν καὶ ἤθους κατόρθωσιν· ἐγὼ δὲ οὐδέ τινος τούτων φημὶ τὰ τοῦ ἀνδρὸς ἀπεστερῆσθαι συγγράμματα, ἀλλ' ἐπειδὴ μὴ ἐπιδεικτική τις αὐτῷ ἡ χρῆσις, οὐ πυκνὰ ταῦτα αὐτῷ τίθε-

238 Eudoxus et Archytas artem mechanicam primi exposuerunt (cf. Plut. Marcell. 14,5)

224 ἀκριβέστατον Br ἀκριβέστερον b 225 μετὰ Bb = cum Su. μὲν r 226 τε om. Al. 228 θεῖτο codd. θοῖτο Al. 230 ἐρῶ codd. εἴπω Al. 232 τῇ περιβολῇ om. Al. τῆς γλώττης codd. τῇ γλώττῃ Al. 234 ζητήματα b μαθήματα Br 238 γραμμικαὶ brB man.² mg. γραμματικαὶ B 239 τῶν om. OB add. man.² s. l. 241 ὠφέλειαν Br ὠφελείας b 242 καὶ om. b τούτων Br αὐτῶν b 243 ἐπειδὴ μὴ om. b 244 ταῦτα αὐτῷ Br αὐτῷ ταῦτα b



ται οὐδ' ἐκ προοιμίων εὐθὺς οὐδὲ πανταχῇ οὐδὲ πᾶσιν, ἀλλ' ὅπῃ αὐτῷ ἀφορμὴν τὸ πρᾶγμα δίδωσιν, ὁπόσα δέον τῷ λόγῳ χρησάμενος, ἐπὶ τὸν προτεθειμένον σκοπὸν αὖθις ἐπάνεισιν. ὁ γὰρ λόγος αὐτῷ οὔτε πρὸς σοφιστείαν ὁρᾷ καὶ ἀγοραίαν κομψότητα οὔτε εἰς τεχνολογίαν καὶ κατανόησιν φύσεως οὔτε μὴν εἰς γραμμικὴν θεωρίαν ἢ τὴν περιττοτέραν ἐν τοῖς ἀριθμοῖς σύνεσιν· ἀλλ' οὐδὲ σπουδάζεται τούτῳ ἡ τοῦ οὐρανοῦ κίνησις ἢ ὅπως ὁ ἀπλανὴς κόσμος πρὸς τοὺς πλάνητας ἀπαντᾷ· μέλει δὲ συμφώνων αὐτῷ ἢ ὁμοφώνων οὐδέν, ἀλλ' οὐδὲ τῶν ἐπὶ τούτοις ἐμμελειῶν. διὰ τοῦτο ταῦτα μὲν ὡς περιττὰ παραπέμπεται, ἔστιν ὅπου καὶ κατὰ καιρὸν χρώμενος, τῆς δὲ ἀληθείας ἀπανταχῇ ἔχεται καὶ τῆς ἀψευδοῦς διηγήσεως. φράσεως δὲ πολλοὺς μὲν ἠπίστατο τρόπους, κέχρηται δὲ τῷ ἀποχρῶντι πρός τήν τε τῶν σπουδαίων καὶ τῶν πολλῶν ἅμα ἀκρόασιν. καὶ ἤρκεσέ γε κατὰ ταὐτὸν ἀμφοτέροις τοῖς γένεσι· τῷ μὲν γὰρ ῥυθμῷ καὶ τῷ κάλλει τῆς λέξεως τὸν ἐλλόγιμον ἀκροατὴν ἐφειλκύσατο καὶ ἔθελξεν ἱκανῶς τοῖς τῶν χαρίτων θηράτροις, τῷ δέ γε σαφεῖ καὶ ποτίμῳ τὰς

252–253 cf. Plat. epin. 987 b 262–263 Longinus (rhetor) ars rhet. 562.19 (Spengel Rhet. Gr. I. 190,17); cf. Psell. orat. 19,73 Littlewood

245 οὐδ' codd. οὐδὲ Al. οὐδ'–εὐθὺς om. b οὐδὲ πᾶσιν Br οὐδὲ πᾶσα b οὐδὲ ἐν πᾶσιν Al. 246 ὁπόσα Br ὁπόσον b 247 αὖθις rB man.² mg. εὐθὺς bBr man.² mg. 248–249 πρὸς–οὔτε om. Al. 249 εἰς Br γὰρ b καὶ κατανόησιν bis O 250 γραμμικὴν Br γραμματικὴν Ob 252 ὅπως Br ὅπερ b 253 πρὸς Bb περὶ r ἀπαντᾷ codd. ἐπαντᾷ Al. 253–254 συμφώνων αὐτῷ b αὐτῷ συμφώνων Br 258 ἠπίστατο codd. ἐπίστατο Al. ἐπίσταται Kz. Dxl. τῷ Bbr τῶν O 259 τε om. b 260 ταὐτὸν r ταὐτὸ Bb γένεσι b μέρεσι Br 262 ἐφειλκύσατο Bbr ἐφειρκύσατο O

ἰδιώτιδας ἀκοὰς τῆς ἑαυτοῦ φωνῆς ἀνηρτήσατο· ἀμφοτέρους τε αὖ ὑπηγάγετο τῷ συντόμῳ καὶ πιθανῷ.

Ἐγὼ γάρ, ἵνα μηδὲν ἐρῶ τοῦ ἀληθοῦς ἔλαττον ἐπικρυψάμενος, χαρακτῆρας μὲν λόγων πολλοὺς οἶδα καλλίονας, λέγω δὴ τῶν τελεωτέρων ῥητόρων καί, οἳ μηδὲ πρὸς παράδειγμα τοῖς πολλοῖς ἑστᾶσι τῷ ὑπερηχοῦντι τοῦ τόνου καὶ τοῦ ῥυθμοῦ, ἀκριβεστέραν δὲ ἰδέαν οἷς εἵλετο συνθέσθαι συγγράμμασιν οὐκ οἶδα εἴ τις τῶν πάντων συνήρμοσεν· ἀλλὰ καὶ εἴ τις ἂν τῶν περιττῶν ἐκείνων τήν τε φράσιν καὶ τὴν ἐνθύμησιν προείλετο τὴν τοιαύτην ὑπόθεσιν, περιεργότερον μὲν ἂν αὐτῇ τὸν λόγον εἰργάσατο, οὔ φημι δὲ σύμπασιν ἀκροαταῖς καταλληλότερόν τε καὶ ἁρμοδιώτερον. τά τε γὰρ προοίμια τῶν λόγων αὐτῷ ἁπτόμενα εὐθὺς τοῦ ὑποκειμένου καὶ βραχύ τι προϊὼν τὸν τοῦ συγγράμματος ἀναφαίνει σκοπὸν καὶ τὴν πᾶσαν ἐπ' ἐνίοις τῶν λόγων ὑπόθεσιν κεφαλαιωσάμενος εὐθὺς κατὰ μέρη τέμνει πρός τε τὰ πρόσωπα καὶ τοὺς καιροὺς μεθαρμόζεται. καὶ τὸ μὲν χρῶμα τοῦ λόγου τὸ αὐτὸ πᾶσι καὶ ἡ ποιότης μία τῆς φράσεως, ἡ δέ γε τοῦ ἤθους μεταβολὴ ποικίλη καί, ὡς ἂν εἴποι τις, τεχνική, οὐ διὰ τὴν τέχνην τὰ πράγματα μεταβάλλουσα, ἀλλὰ τὸ ἑκάστῳ τῶν παραπιπτόντων πραγμάτων

**264** *ἰδιώτιδας* Bbr *ἰδιότητας* O **265** *ὑπηγάγετο* Bbr *ἠπηγάγετο* O **266** *ἐρῶ* codd. *φῶ* Al. *ἀληθοῦς* ObrB man.$^2$ mg. *ἀληθῆ* B **267** *χαρακτῆρας* br *χαρακτήρων* Br man.$^2$ mg. **268** *δὴ* Br *δὲ* b *οἳ* add. s. l. *χαρακτῆρες* b **269** *τῷ ὑπερηχοῦντι* codd. propter excellentem = *τῷ ὑπερέχοντι* Su. **271–272** *τῶν – τις* om. b **274** *ἂν* om. Or *ἴσως* post *ἂν* add. Al. *αὐτῇ* Or *αὐτῷ* b lac. B *αὐτ. τὸν λόγον* Br *τὸν λόγον αὐτ.* b *εἰργάσατο* add. s. l. *τῆς τῶν ῥητόρων* b **275** *καταλληλότερον* b *κατάλληλον* Br **279** *μέρη* OrB man.$^2$ mg. *μέρ.* b lac. B *μέρος* Al. **280** *τε* om. b **283** *εἴποι* codd. *εἴπῃ* Al. *οὐ* Bbr *οὐδὲ* O **284** *παραπιπτόντων* Br *περιπιπτόντων* b



τε καὶ προσώπων οἰκεῖον διερμηνεύουσα. ὡς πρὸς ἀρχέτυπα δὲ τὰ ἀρχαιότερα τῶν πραγμάτων ἐπατενίζων ἐκείνων τε οὐκ ἀφίσταται, ἵνα μὴ δόξῃ ἄλλο τι ποιῶν καὶ παρὰ τὸ παράδειγμα, καὶ τὴν ὅλην ἰδέαν μετατυποῖ, οὐκ ἐναλλάττων τὴν ὕλην, ἀλλὰ τὸ ἡμαρτημένον τῶν εἰδῶν διορθούμενος, οὐδὲ καινοτομῶν τὰς ἐννοίας, ἀλλὰ τὸ τῆς λέξεως σχῆμα μετατιθείς· ἀνωμαλίαις τε περιπίπτων διηγημάτων ὁ λόγος αὐτῷ καὶ μεταλλαγαῖς ὑποθέσεων οὐ συγχεῖται οὐδὲ ταράττεται, ἀλλ' ὥσπερ ἄριστος κυβερνήτης περικλυζομένης αὐτῷ τῆς νεὼς ἀτρέμας εἱστήκει τῷ οἴακι τεχνικώτατα χρώμενος.

Ἔστι δὲ οὗ τῶν λόγων καὶ γεωγραφεῖ τὰς τῶν ἐπαινουμένων πατρίδας, τῆς συμπάσης ἀποτεμνόμενος γῆς καὶ ἀνάγων εἰς ἓν τῶν τμημάτων. εἶτα δὲ καὶ περὶ ποταμῶν τι φθέγγεται καὶ φυσιολογεῖ αὐτῶν τὰς ἀρχὰς καὶ περὶ εὐκαιρίας πόλεων καὶ κράσεως ἀέρων καὶ ὡρῶν ἁρμονίας, εἰ καὶ οἱ τὴν ἀκοὴν τῷ ὄντι δυσήκοοι τούτων λεγομένων οὐκ ἐπαΐουσιν. ἅπτεται δὲ καὶ πολυειδῶς τῶν τοῦ λόγου μερῶν, τὰ μὲν ἀγωνιστικώτερον, τὰ δὲ πρᾳότερον. τῆς δὲ τῶν διηγήσεων χάριτος τίς ἂν αὐτῷ τῶν πάντων ἀμφισβητήσειε; τῆς δὲ συνθήκης; τῆς δὲ τῶν ῥυθμῶν ἀναπαύσεως; τῆς δὲ πρὸς πάντα καταλλήλου εὐαρμοστίας; βούλομαι μὲν οὖν, ὅτι μὴ στωμύλος, ὑπὲρ ἐκείνου διαγωνίσασθαι, εὑρί-

**285** *οἰκεῖον* Or *οἰκείων* bBman.$^2$ mg. lac. B *διερμηνεύουσα* codd. *ὑφερμηνεύουσα* Al. **286** *πραγμάτων* Br *συγγραμάτων* b *ἐπατενίζων* r *ἐνατενίζων* Bb **288** *παρὰ* Br *περὶ* b **288** *μετατυποῖ* Bbr man.$^2$ mg. *μεταποιεῖ* r **293** *ὥσπερ* Bb *ὡς* r **293** *κυβερνήτης* brB man.$^2$ mg. *τεχνίτης* Br man.$^2$ mg. **294** *εἱστήκει* Bbr *ἑστήκει* O corr. *ἑστήκοι* **296** *δὲ οὗ* Br *δ' οὗ* b **297** *πατρίδας* brB man.$^2$ mg. *πέδας* B *παῖδας* r man.$^2$ mg. **298** *δὲ* om. b **301** *οἱ* om. B **306** *μὲν* om. b

*σκω δὲ τοὺς λόγους αὐτῷ μηδὲ ταύτης τῆς χάριτος ἀποδέοντας, ἀλλ' ὅπου μὲν καὶ τὸ περιττὸν ἔχοντας, ἐν δέ γε τοῖς πλείοσι τὸ σεμνὸν καὶ τὸ κόσμιον· δύο δὲ ταύτας ὁδοὺς αὐτῷ θέμενος, μαρτυρικὴν ἔνστασιν καὶ ἀσκητικὴν καρτερίαν, τρέχει μὲν ἐπ' ἀμφοῖν τοῖν σταδίοιν οὐ μετὰ ποδῶν ὠκύτητος, ἀλλὰ μετὰ λογισμῶν ὀξύτητος· μάλιστα δὲ τὸν ἀσκητικὸν διαθέων δίαυλον εὐτονώτερος αὐτοῦ καὶ ἀγωνιστικώτερος γίνεται. πιαίνει γοῦν μοι τὴν ἀκοήν, ὁπηνίκα ὁ λόγος αὐτῷ ἄνεισι μὲν ὄρη, ὕπεισι δὲ σπήλαια· ὑπό τε πίτυν ἢ δρῦν τινα καθίζει τῶν ἀσκητῶν καὶ σχεδιάζει αὐτῷ τροφὴν τὴν ἐκ βοτανῶν καὶ πόμα τὸ ἐκ πηγῶν· περιανθίζει γὰρ τὰς τοιαύτας διηγήσεις λέξεσί τισι τὸ καλὸν ἀνθούσαις καὶ σχημάτων ποικίλαις ῥοδωνιαῖς καὶ ὡς ὁρώμενα δείκνυσι τὰ τότε καιροῦ πράγματα μᾶλλον πραττόμενα. ζηλῶ μὲν οὖν ἐγὼ τὸν ἄνδρα καὶ τῆς τοιαύτης εὐστομίας καὶ χάριτος, οὐδὲν δὲ ἧττον τῆς εὐχρηστίας τῶν ὑποθέσεων· εἰ γὰρ κἀμοὶ πολλὰ καὶ περὶ πολλῶν συγγέγραπται, ἀλλ' οὐκ ἂν ἔχοι τοιοῦτον ζῆλον καὶ μίμησιν τὰ σπουδάσματα. ἀλλὰ λογίοις μὲν ἴσως ἀνδράσι φανήσεται*

316–317 cf. Hom. Od. 9,186

**310** *τὸ σεμνὸν καὶ* codd. del. Al. **311** *μαρτυρικὴν* Bbr *μαρτυρὴν* O **312** *οὐ* brB s. l. man.[2] *ἀλλά* B *μετὰ* om. B Al. **313** *ὠκύτητος* br *ὠκύτατος* B *ὠκύτητι* Al. *μετὰ* codd. del. Al. *ὀξύτητος* br *ὀξύτατος* B *ὀξύτητι* Al. **314** *αὐτοῦ* B *ἑαυτοῦ* br *αὑτοῦ* O **315–316** *πιαίνει – ὄρη* om. b **317** *τῶν ἀσκητῶν* b *τὸν ἀσκητὴν* Br **318** *τὴν … τὸ* om. O add. s. l. B **319** *τὸ καλὸν* brB man.[2] mg. *τῶν καλῶν* B **320** *ποικίλαις* bB man.[2] mg. *ποικίλλαις* r *ποικίλλει* Br man.[2] mg. **321** *πράγματα μᾶλλον* om. Br **323** *δὲ* br *τε* B **324** *συγγέγραπται* Fr. *συγγεγράφεται* b *συγγράφεται* Br **325** *ἔχοι* br *ἔχῃ* O lac. B *τοιοῦτον* Or *τοσοῦτον* b lac. B **326** *ἴσως* brB man.[2] mg. *ἴσθι* B



*περισπούδαστα καὶ ζηλώσουσι ταῦτα διὰ τὴν λέξιν καὶ τὸν ποικίλον σχηματισμόν, καταφρονήσουσι δὲ οἱ πολλοί, ὅτι μὴ μέλον αὐτοῖς ζητημάτων καὶ ἐννοιῶν ἀπορρητοτέρων.*

*Φασί γέ τοι μηδ' ἐκ παρέργου τούτου ἧφθαι τοῦ πράγματος μηδὲ αὐτὸν προθέμενον, εἰ μὴ ὅσον βούλεσθαι· βασίλειοι δὲ τοῦτον παρακλήσεις ἐπὶ τοῦτο προήνεγκαν καὶ οἷς ἐφροντίζετο λόγος καὶ σύνεσις. καὶ ἦν αὐτῷ ἡ παρασκευὴ ἐξ ἑτοίμου κύκλος τε οὐ βραχὺς τῶν τε πρώτως ἐνσημαινομένων τὴν λέξιν καὶ τῶν μετὰ ταῦτα τιθέντων· καὶ ἄλλος ἐπ' ἄλλῳ, ὁ μὲν τὰ πρῶτα ποιῶν, ὁ δὲ τὰ δεύτερα· καὶ ἐπὶ τούτοις οἱ τὰ συγγεγραμμένα ἐξακριβούμενοι, ἵν', ὅ τι τοὺς ὑπογραφέας λάθοι, πρὸς τὴν προκειμένην διορθώσωνται ἔννοιαν. οὐ γὰρ ἐνῆν αὐτῷ διὰ τὸ πλῆθος τῶν συγγραμμάτων πολλάκις τὰ αὐτὰ ἀνακυκλεῖν τε καὶ ἐφορᾶν· ἀλλ' εἰ καὶ πολὺς ὁ ζῆλος ὀνόματος καὶ ἡ φροντὶς περιττοτέρα τοῦ δέοντος ἢ μᾶλλον πρὸς τοῦτο δὴ ἀξιόχρεως, ἀλλ' ὅ γε στάχυς ἐνενικήκει μακρῷ τὴν σπορὰν καὶ τὸ λήϊον οἷον οὐδέπω καὶ τήμερον· ὥστε εἰ καὶ μηδὲν ἄλλο τῷ ἀνδρὶ διεσπούδαστο μηδ' ἀποχρῶντα τἆλλα σύμπαντα καὶ καθ' ἕκαστον πρὸς ἀφορμὴν εὐφημίας ἀρκεῖν, ἀλλὰ τό γε τοιοῦτον ἑλέσθαι σπούδασμα καὶ οὕτω*

**327** *λέξιν* br *τάξιν* O lac. B **329** *μέλον* Br *μέλλον* Ob *ἐννοιῶν ἀπορρητοτέρων* Br *ἀπορρητοτέρων ἐννοιῶν* b **331–332** *βασίλειοι … παρακλήσεις* brB man.[2] mg. *βασιλεὺς … παρακαλῶν* B **332** *τοῦτο* Bb *τούτῳ* r **334** *τε*[2] om. b **338** *προκειμένην* brB man.[2] mg. *ὑποκειμένην* Br man.[2] mg. **338–339** *διορθώσωνται* Br *διορθώσονται* Ob **339** *ἐνῆν* Br *ἐν* O *ἦν* b **341** *πολὺς* Bbr *πολλοὺς* b *ζῆλος ὀνόματος* B *ζῆλος* r man.[2] mg. Al. *κάματος* brB man.[2] mg. **344** *ὥστε εἰ* brB man.[2] mg. *εἴτε* Br man.[2] mg. **345** *τἆλλα* r *τὰ ἄλλα* Bb **346** *ἀρκεῖν* r *ἀρκοῦν* B om. b

προσκαταπράξασθαί τε καὶ ἀκριβώσασθαι αὔταρκες ἀντὶ παντὸς ἄλλου πρὸς ἐγκώμιον τῷ ἀνδρί.

Ἔγωγ' οὖν πρὸς μὲν τὰ τῶν θύραθεν σοφῶν συγγράμματα οὐδ' ἀξιῶ συγκρῖναι τὰ σπουδάσματα τοῦ ἀνδρός. τί γάρ, εἰ οἱ μὲν τούτων τοὺς Παναθηναϊκοὺς συνέθεντο, οἱ δὲ τὴν τῶν Πελοποννησίων καὶ Ἀθηναίων μάχην μετὰ τῆς σοβαρᾶς λέξεως συνεγράψαντο; καὶ οἱ μὲν κατὰ τῶν ῥητόρων, οἱ δὲ ὑπὲρ τῶν ῥητόρων ἀντηγωνίσαντο, ἐν οἷς τὸ μὲν περιττὸν ἔκδηλον καὶ διαπρεπές, τὸ δ' ὠφελοῦν βραχύ τι καὶ ἀσθενές. οὐ πρὸς τούτους οὖν ἐγὼ τὸν ἐμὸν ἀγωνιστὴν ἑλοίμην ποτ' ἂν παραβαλεῖν, ἀλλ' εἴ μοί τις δοίη, ἐν ἴσῳ ἂν τοῦτον θείην τοῖς περὶ τὸν τοῦ εὐαγγελίου λόγον πονήσασι καὶ τὸ τοῦ λόγου βάθος διερμηνεύσασιν. ὧν γὰρ ἴσα τὰ τέλη, τούτων καὶ αἱ ἀρχαὶ παραπλήσιοι· καὶ εἰ σω-

**352–354** Orationes panathenaicas et Isocrates (or. 12) et Aelius Aristides (or. 1 Lenz/Behr = 13 Dindorf) scripserunt. Historiam de bello Peloponnesiaco et Thucydides et Xenophon (Hell. 1–2, 3, 9) scripserunt

**348** *προσκαταπράξασθαί* Fr. *προκαταπράξασθαί* b *καταπράξασθαί* Br *ἀντὶ* Br *παντὶ* b **350** *θύραθεν* brB man.$^2$ mg. *θυραίων* Br man.$^2$ mg. *θυρέων* O **351** *συγκρῖναι* Bbr *δικρῖναι* O *σπουδάσματα* Br *συγγράμμ* corr. *σπουδάματα* (sic) b **351–352** *τί γάρ, εἰ* brB man.$^2$ mg. *τί μὲν δὲ* B **352** *τοὺς Παναθηναϊκοὺς* b *τὰ Παναθηναϊκὰ* Br **353** *Πελοποννησίων* b *Πελοπονησίων* Br **355** *οἱ – ῥητόρων* om. b *ἀντηγωνίσαντο* rBman.$^2$ mg. *κατηγωνίσαντο* Bb **356** *ἔκδηλον* codd. *εὔδηλον* Al. *διαπρεπές* codd. *διαφανές* a. c. b **357** *τούτους* Bb *τούτοις* r *ἀγωνιστὴν* codd. *ἀνταγωνιστὴν* Al. **359** *τὸν* Bbr *τῶν* O **360** *πονήσασι* br *ποιήσασι* O lac. B *διερμηνεύσασιν* codd. *ἐξερμηνεύσασιν* Al. **361** *τὰ ἴσα* a. c. b *τέλη* brB man.$^2$ mg. *γένη* Br man.$^2$ mg. *εἰ* Bbr *ἢ* O *ὧν ἢ* Al.



τηρία ψυχῶν παρ' ἀμφοῖν τὸ τέλος τῶν ὑποθέσεων, πῶς οὐχὶ καὶ τὰ αἴτια ἐν ἴσῳ καθεστήκει ἀλλήλοις καὶ οἱ συγγραφεῖς ἐπὶ τῆς αὐτῆς σταῖεν στάθμης ἤ, ἵνα τὸ ἡμέτερον εἴπω, τῶν ἴσων κληρονομήσουσι; πόσοις δ' οὐκ ἂν στεφανωθείη ἀριστείας στεφάνοις ὁ θαυμαστὸς οὗτος ἀνήρ; μᾶλλον δὲ πόσοις οὐκ ἂν ἤδη κατέστεπται ἀναδραμὼν πρὸς θεὸν καὶ πρὸς ἐκείνοις χορεύων, ὧν ἐνταῦθα τὰ ἤθη καὶ τοὺς βίους συνέγραψεν. ἔδειξε γὰρ κἂν τῷ τέλει, ὁποῖος αὐτῷ ὁ διεσπουδασμένος βίος ἐτύγχανεν ὤν· οὐ γὰρ ὥσπερ τετμῆσθαι αὐτὸν οἱ συνεωρακότες φασὶν οὐδὲ διῃρῆσθαι, ἀλλ' ἐῴκει ὥσπερ τινὸς δέσμης ἐλευθερούμενος καὶ ἱλαρῷ πρὸς τοὺς ἄγοντας ἀγγέλους ἀνατεινόμενος νεύματι καί πως ἐπιδιδοὺς ἑαυτὸν ταῖς ἐκείνων χερσίν, ἵνα ταχὺ ἀποσταίη τοῦ σώματος.

Καὶ ἐτεθνήκει μὲν οὕτως, εὐωδίας δὲ αὐτίκα πάντα ἐγεγόνει μεστά, καὶ οὐκ εὐθὺς μόνον οὐδὲ εἰς τρίτον ἦμαρ, ἀλλὰ καὶ εἰς πολλοστὴν ἀπ' ἐκείνης, ἕως δὴ κόσμος μόνος τῷ τάφῳ ἐτεθησαύριστο. καὶ ἦν ἂν μέχρι παντὸς ἀρωματίζουσα ἡ σορός, εἰ μή τινες τοσοῦτον παρηνομήκασιν, ὥστε καὶ ἕτερον παρ' αὐτῷ καταθεῖναι σωμάτιον·

**363** *καθεστήκει* br *καθεστήκασιν* B *καθ. ἀλλ.* Br *ἀλλ. καθ.* b **365** *πόσοις* codd. *πόσος* Al. **366** *ἀριστείας* Br man.$^2$ mg. *ἀριστείοις* br *ἀριστείαις* B man.$^2$ mg. **367** *ἀναδραμὼν* codd. *ἀναδρομὼν* Al. **368** *πρὸς ἐκείνοις* Or *μετ' ἐκείνων* b lac. B *παρ' ἐκείνοις* Al. *χορεύων* Ob *χορεύον* r lac. B **369** *συνέγραψεν* Bb *ἐνέγραψεν* r *ἔδειξε* codd. *ἐπέδειξε* Al. **372** *τινὸς* Bbr *τις* O **374** *πως* Br *ὥσπερ* b **375** *ἀποσταίη* b *ἀνασταίη* Br **377** *μόνον* Br *μὲν* b **377–378** *τρίτον ἦμαρ* b *τρίτην ἡμέραν* Br **378** *πολλοστὴν* Bbr *πολλὰς* O = multos dies Su. **378–379** *κόσμος μόνος* Fr. *κόσμος* Br man.$^2$ mg. *μόνος* brB man.$^2$ mg. **379** *τῷ τάφῳ* om. b **381** *παρ'* Br *ἐν* b *σωμάτιον* Br *σώματι* b

ὁμοῦ τε γὰρ κἀκεῖνο συμπεπτώκει τῷ μεγάλῳ ἀνδρὶ καὶ ἡ τῆς εὐωδίας ἔστη πηγή. τοῦτο μὲν δή σοι τὸ θαῦμα, κάλλιστέ μοι πάντων ἀνδρῶν καὶ ἐλλογιμώτατε, εἰς περιουσίαν ἐστὶν ἀποδείξεως τῆς σῆς καθαρότητός τε καὶ ἁγιότητος, ἐπεὶ καὶ τἆλλα ἀποχρῶντά σοι πρὸς τὴν τῆς ἀρετῆς ἀκριβεστάτην τελείωσιν. σὺ δέ μοι ἵλεως εἴης, εἰ μή σοι σύμπασαν διηκριβωσάμην τὴν ἀρετὴν μηδ' ἐκ πάντων τῶν σῶν καλῶν συνεμέτρησά σοι τὴν εὐφημίαν. καὶ μή με, οἷς ἐλλέλοιπα, δι' ὀργῆς ἔχοις, ἀλλ', οἷς συγγέγραφα, διὰ μνήμης ἄγοις, εἴ τίς ἐστι μνήμη τῶν ἐνταῦθα ταῖς καθαρωτέραις ὑμῶν καὶ θεοειδέσι ψυχαῖς.

**387** Matt. 16,22

**382** *κἀκεῖνο* Br *ἐκείνῳ* b *συμπεπτώκει* om. b **383** *ἔστη* Bb = desit Su. *ἔστι* r **385** *ἐστὶν ἀποδείξεως* om. B add. B man.[2] mg. **385** *τε* om. Al. **388** *τὴν* om. B *τὴν – μηδ'* codd. *μὴδὲ τ. ἀρ.* Al. **390** *ἔχοις* br p. c. B *ἔχῃς* a. c. B *μνήμης* Br *μνήμην* b **391** *ἄγοις* brB man.[2] mg. *ἔχοις* B *καθαρωτέραις* Bb *καθαρωτάταις* r **392** finit add. b *ἐν χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα τιμὴ καὶ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμὴν* add. rB man.[2] mg.

# ORATIO IN DECOLLATIONEM IOANNIS BAPTISTAE

Iam diu afflictus et mutus auctor (4 ff.) nunc Ioannem Baptistam narrat et Zachariam eius patrem, qui mutus at tamen prophetis veteribus sacerdotibusque similis (41 ff.) ab angelo doctus est de Israel liberando (68). Christi praecursor autem Ioannes mirabiliter natus (74 ff.) ipso in genere vitae angelum imitatus est (106). qui Iesum nondum natum in utero salutavit (131 ff.) potius narrari debet quam insolenter parti dei et heroes Graecorum (145 ff.). Ioannes ab ineunte aetate ignotus (164 ff.) nos vita sua instruxit (175–176), et patribus veteribus prophetisque similiter se solus in solitudinem abdens (183 ff.) et similiter Cynicis pauperum habitum habens (226 ff.) et cibo abstinens (242 ff.) et adsidue orans (265 ff.). hic autem Graecis omnibus praestetit philosophus, mundum scientia comprehendens (283 ff.), philosophiam Socraticam (321) et silentium Pythagoreum (326 ff.) exercens, atque in terra vivens quasi in caelo (343 ff.). nam locis in desertis cum multos baptizavit (367 ff.) tum reprehendit (387 ff.) qui se pro Christo haberent (426 ff.). hoc errore valde negato (433 ff.) Ioannes propter multas causas se indignum habens (449 ff.) non libens sed oboediens Iesum baptizavit (480). denique Herodes impius rex Iudaeorum (526 ff.) ab Ioanne accusatus non solum vinculis mandavit (548 ff.) sed etiam Ioannem securi percussit suum natalem impudenter celebrans (562 ff.). huius sceleris causa postea Herodes repentina morte periit (618 ff.). nunc Ioannes beatus caelo fruitur (632 ff.), tan-